# 66. THE STILLING OF THE TEMPEST (Matt-Lk Identicals)

| Matt 8:18:27 | Luke 8:22-25 |
|---|---|
| Ἰδὼν δὲ ὁ Ἰησοῦς ὄχλον περὶ αὐτὸν | |
| | Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον |
| | καὶ οἱ μαθηταὶ αὐτοῦ, |
| ἐκέλευσεν | καὶ εἶπεν πρὸς αὐτούς, |
| ἀπελθεῖν εἰς τὸ πέραν. | Διέλθωμεν εἰς τὸ πέραν |
| | τῆς λίμνης· |
| 19 καὶ | |
| προσελθὼν εἷς γραμματεὺς | |
| εἶπεν αὐτῷ, | |
| Διδάσκαλε, ἀκολουθήσω σοι | |
| ὅπου ἐὰν ἀπέρχῃ. | |
| 20 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.<br>21 ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ, Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου.<br>22 ὁ δὲ Ἰησοῦς λέγει αὐτῷ, Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. | |
| | καὶ ἀνήχθησαν. |
| 23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον | |
| ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. | |
| | 23 πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν. |
| 24 καὶ ἰδοὺ σεισμὸς μέγας | καὶ κατέβη λαῖλαψ |
| ἐγένετο ἐν τῇ θαλάσσῃ, | ἀνέμου εἰς τὴν λίμνην, |
| ὥστε τὸ πλοῖον καλύπτεσθαι | καὶ συνεπληροῦντο |
| ὑπὸ τῶν κυμάτων· | |
| | καὶ ἐκινδύνευον. |
| αὐτὸς δὲ | |

| Matt 8:18:27 | Luke 8:22-25 |
| --- | --- |
| ἐκάθευδεν. | |
| 25 καὶ προσελθόντες ἤγειραν | 24 προσελθόντες δὲ διήγειραν |
| αὐτὸν λέγοντες, | αὐτὸν λέγοντες, |
| Κύριε, σῶσον, | Ἐπιστάτα ἐπιστάτα, |
| ἀπολλύμεθα. | ἀπολλύμεθα. |
| 26 καὶ λέγει αὐτοῖς, Τί δειλοί | |
| ἐστε, ὀλιγόπιστοι | |
| τότε ἐγερθεὶς | ὁ δὲ διεγερθεὶς |
| ἐπετίμησεν τοῖς ἀνέμοις | ἐπετίμησεν τῷ ἀνέμῳ |
| καὶ τῇ θαλάσσῃ, | καὶ τῷ κλύδωνι τοῦ ὕδατος· |
| | καὶ ἐπαύσαντο, |
| καὶ ἐγένετο γαλήνη μεγάλη. | καὶ ἐγένετο γαλήνη. |
| | 25 εἶπεν δὲ αὐτοῖς, |
| | Ποῦ ἡ πίστις ὑμῶν |
| 27 οἱ δὲ ἄνθρωποι | |
| ἐθαύμασαν | φοβηθέντες δὲ ἐθαύμασαν, |
| λέγοντες, | λέγοντες πρὸς ἀλλήλους, |
| Ποταπός ἐστιν οὗτος | Τίς ἄρα οὗτός ἐστιν |
| ὅτι καὶ οἱ ἄνεμοι | ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει |
| καὶ ἡ θάλασσα | καὶ τῷ ὕδατι, |
| αὐτῷ ὑπακούουσιν | καὶ ὑπακούουσιν αὐτῷ |

243 total words with 36 identicals = 15%